


GAISFORD PRIZE, 1871.

ICELAND:

IN HERODOTEAN PROSE.

BY

GEORGE EDWARD JEANS,

SCHOLAR OF PEMBROKE.

"Dispecta est et Thule, quam hactenus hiems abdebat."

TAC., *Agric.* 10.

"A streamer of the northern morn,
Seen where the moving isles of winter shock
By night, with noises of the northern sea."

TENNYSON, *The Passing of Arthur.*

OXFORD:

GEORGE SHRIMPTON,

TURL-STREET.

1871.

ANALYSIS.

THE COUNTRY:—Its climate, soil, &c.

Chief natural features; the Geysirs, the volcanoes; the great eruption of 1783, and its results.

Natural history. The whale, reindeer, Arctic fox, and other remarkable animals.

THE INHABITANTS:—Their character, education, customs; their houses; Reykjavik, the chief town.

Icelandic literature, its flourishing period; the Sagas and Eddas; Snorri Sturluson, the great historian.

Their history, from the colonization of Iceland to its political extinction. Political constitution. The Althing, the magistrates, divisions of the island, &c.

Their religion. Legends of the principal Norse gods, Odin, Thor, Baldur.

ΘΟΥΛΗ.

"Dispecta est et Thule, quam hactenus hiems abdebat."—TAC., *Agric.* 10.

"A streamer of the northern morn,
Seen where the moving isles of winter shock
By night, with noises of the northern sea."
TENNYSON, *The Passing of Arthur.*

Introduction.

Ἔδοξε ἐμοὶ ἱστορίην τήνδε ποιῆσαι ἵνα μὴ ἄγνωτος εἴη γῆ τόσα ἔργα θωυμάσια ἀποδεξαμένη, καὶ ἅμα ἵνα βεβαιοῖμι ὅσα τῶν προτέρων ἀπηγημάτων οὐ πάνυ πιθανὰ εἶναι δοκέοι, τῆς δὲ ἀληθηίης ὅμως οὐ πολὺ ἁμαρτάνει, εἰ γῶν ἀξιόπιστος μᾶλλον ὁ αὐτόπτης τοῦ ἐξ ἀκοῆς μοῦνον λέγοντος. συμμίσγων γάρ κοτε ἀνδρὶ ναυκλήρῳ εἰρώτεον αὐτὸν τίνα γῆν θωυμαστοτάτην ἁπασῶν νομίζοι; ὁ δὲ ἔλεγε φὰς ὅτι πλώσας κοτὲ περὶ τὰς Ὀρκάδας νήσους, εἰσὶ γὰρ ὑπ' Ἄρκτον μάλιστά κῃ κείμεναι, κατὰ συντυχίην ὑπὸ χειμῶνος ἰσχυροῦ ὤσθη τινὰς ἡμέρας πρὸς βορῆν ἄνεμον, ἅμα δὲ τῇ ἕκτῃ μάλιστα ἡμέρῃ, οὐ γὰρ ἀκριβῶς ἔφη γινώσκειν, πελάσαι νήσῳ μεγάλῃ καὶ ὀρεινῇ, τῇ οὔνομα Θούλη, ἀποβάντι δὲ αὐτῷ τοὺς ἐπιχωρίους κάρτα εὐξείνως χρήσασθαι, ἐκεῖ δὲ ἰδέειν ἀξιόλογα πολλά, οἷα ἄλλοθι οὐδαμοῦ οὐδὲ ἐν Αἰγύπτῳ, τῶν μέρος τι ἐν ἀπηγήματι σημανέω. πληχθεὶς γὰρ ἱμέρῳ τοῦ αὐτὸς ὁρέειν σὺν τῇ ἐπομένῃ θερείῃ ἐς τὰς Ὀρκάδας ἔβην, ἐνθεῦτεν δὲ χρόνον τινα ἀναμείνας εὗρον νῆα πρὸς βορῆν πλευσομένην, καὶ οὕτω μετὰ πλόον δυσχείμερον ἐς Θούλην ἦλθον. αὐτῆς ὦν μνήμην ἀποδέξω, διακρίνων τά τε ἀκουσθέντα καὶ ὅσων αὐτόπτης ἔγωγε εἰμι, ἵνα μὴ τὰ βέβαια τοῖσι ἐξ ἀκοῆς οὖσι συγχυθέντα πίστιος μᾶλλον ἁμαρτάνῃ κυρῆσαι.

Θούλη ἐστὶ νῆσος ὅσον οὐκ ὑπ' αὐτὴν τὴν Ἄρκτον ἐν τῇ βορηΐῃ θαλάσσῃ κειμένη, ἀπὸ δὲ τῆς ἠπείρου τῆς Εὐρώπης ᾗ ἐστὶ ἐγγυτάτη, ἐπ' ἡμέρας δέκα ἐστὶ μάλιστα πλόος.

Description of Iceland; its situation, size, climate, &c.

μῆκος μέν ἐστι στάδια δισχίλια καὶ τριηκόσια, τὸ δὲ εὖρος, ὡς λαμβάνειν τὸ μέσον τοῦ μεγίστου καὶ τοῦ ἐλαχίστου, χίλια καὶ διηκόσια μάλιστα· οὕτω ἔχει τὸ μέγαθος. ἡ δὲ φύσις ἐστὶ

τοιήδε· χώρη τρηχέη καὶ ὀρεινή ἐστι πανταχοῦ, ὑπίσταται δὲ πάσῃ λίθος πώρινος φύσιν ἀλλοίην παρεχόμενος ἢ οἱ ἄλλοι λίθοι, κισηροειδὴς γάρ τις ἐστι καὶ χυτὸς ὡς διὰ πύρος, ὧν δὲ τοιοῦτος δηλοῖ ὅτι ἐπίκτητός τε γῆ ἐστι καὶ δῶρον τοῦ ῥύακος. τὴν δὲ ἀκτὴν ἔχει τρηχέην καὶ ἀγχιβαθέα (λαβροτάτη γὰρ ἡ βορηΐη θαλάσση) ὥστε λιμένας εἶναι παμπόλλους, τούτους δὲ οὐκ ἀσφαλέας, ἐπεὶ κατάγεσθαι τὰ πλεῖστα διὰ τὴν βίην τῆς ῥηχίης οὐ ῥηΐδιον. κεχαραδρωμένη δὲ μάλιστα ἄλλων ἐστιν ἡ χώρη· τὸ δὲ αἴτιον ἐμοὶ δοκέειν, τοῦτ' ἐστὶ· χυτὸς ἔσκε κοτὲ καὶ διάπυρος ὁ λίθος ἐκ τοῦ συγκέεται ἡ νῆσος, ὅκως δὲ ἐκβάλοι αὐτὸν ἐκ τῶν οὐρέων ὁ ῥύαξ, ἀποσφακελίζων ὑπὸ τοῦ ψυχροῦ ἠέρος οὕτω τὰς χαράδρας ἐποίησε. ποταμοὶ δὲ δι' αὐτῶν ῥέουσι μεγάλοι καὶ οὐ ῥηιδίως διαβατοὶ· βαθέες γάρ εἰσι κάρτα καὶ ἀναντέας ἔχουσι τὰς ὄχθας ὅθεν ἀνεὺ ἵππων οὐκ ὁδοιπορέουσι, οὐδ' ὀλίγον. ἐπεὰν γὰρ ὕσῃ πολύ, ἢ πρηυνομένου τοῦ θέρευς κατατήκῃ ἡ χιὼν, ῥέει πολὺ κατὰ τῶν οὐρέων ἐς τὰς χαραδρὰς τὸ ὕδωρ ὑπὸ δὲ τοῦ ἡλιοῦ αὖθις ξηραίνονται. δύσβατος δὲ καὶ διὰ τὸ ῥῖγος ἡ Θούλη, οὐ μέντοι πολλῷ ψυχροτέρη τῆς Σκυθικῆς ἐστὶ, πλὴν ἐὰν πεπήγῃ ἡ πέριξ θαλάσση, τότε δὲ καὶ ἀπόλλυνται πολλοὶ ἄνθρωποι διὰ τὸ μῆκος τοῦ χειμῶνος.

Want of trees, and vegetable life in general. The sand-oat only indigenous species of corn. Cranberries the only fruit. The "launa-stein."

Φυτῶν δὲ πάντων μακρῷ ψιλοτέρη ἢ ἄλλαι χῶραι ἡ νῆσος δένδρεον γὰρ οὐκ ἔχει πλὴν σημυδέων καὶ ἰτεῶν, ταύτας δε οὐ μέζονας πέντε ἢ ἓξ πηχέων διὰ τὸ λεπτόγεον. φορβῆς δὲ ἂν ἔδεε κάρτα τοῖσι προβάτοισι εἰ μὴ ποίη ἄφθονος ἦν, βραχέα δὲ, βαθέης γὰρ γῆς οὐ δέεται, ἀλλ' ἐπὶ οὔρεσι καὶ πεδίοισι βλαστάνει πανταχῇ ἐὰν λεπτή τις γῆ ἐπεῖναι τυγχάνῃ. πυρὸς δὲ οὐ φύεται οὐδὲ ζειὰ, οὐδ' ἄλλο τι εἶδος σίτου εἰ μὴ αἰγίλωψ ὁ βορήϊος, οὗτος γὰρ καὶ ἐν ψάμμῳ φύεται καὶ τῶν ἄλλων ἔσσον δύσριγός ἐστι, ἄρτους δὲ ποιεῦσι ἐκ τούτου αἱ γυναῖκες ἐν χειρομύλῃ ἀλέουσαι. ὀσπρίου δὲ καὶ λαχάνων ὀλίγα ἔχουσι πλὴν σκορόδων καὶ γογγυλίδων καὶ τῶν τοιούτων, οὐδὲ καρπὸν οὔδενα εἰ μὴ ἀπὸ ῥηχοῦ τινος ἐρυθρὸν ἐόντα καὶ στρογγύλον. ἐστὶ δὲ καὶ πυρὴν φυτοῦ τινος ὅπερ οὐκ ἀλλῇ ἑώρακα τὸ καλεῦσι λαυσνὴν· τοῦτον δὲ ἐψησᾶσαι ἐν

λέβητι πίνουσι τὸ ὕδωρ αἱ ἐν γαστρὶ ἔχουσαι γυναῖκες, οἴονται γὰρ ἐς τὸ ὠκυτόκον χρήσιμον εἶναι. αἱ δὲ παρὰ τῇσι θερμῇσι πηγῇσι οἰκέουσαι οὔ κοτε λεβήτων καὶ τῶν τοιούτων δέονται, ἀλλ' ἐν ταυτῇσι βάπτουσαι τὸ ὄσπριον οὕτω ὀψοποιεῦνται.

The natural wonders of Iceland. Geysirs, or hot springs; the Fetid river; legend of the arched rocks at Dyrrholarey.

Τουτέων δὲ τῶν πηγέων οὐδὲν ἀξιαπηγητότερον, εἰσι γὰρ οἷαι οὐκ ἐν οὐδεμίᾳ ἄλλῃ χώρῃ. ἀπὸ δὲ τοῦ αἰγιαλοῦ πρὸς τὸ μέσον τῆς νήσου ἰόντι ἀπέχουσι ἐπὶ ἡμερέων τριῶν εὐζώνῳ γε ἀνδρὶ ὁδόν. ὁδοιπορέων δὲ ἥξεις ἐς τὸν Δυσώδεα ποταμὸν καλεύμενον, ὀδμὴν γὰρ βαρεὴν καὶ τὸ κάρτα παρεχόμενός ἐστι, ἅτε θεῖον καὶ πυρίτας λίθους ἐκ τῶν οὐρέων καταφέρων ἄλλων ποταμῶν τὰ πλεῖστα, ὥστε ἰχθῦς μὴ δύνασθαι ἐν αὐτῷ ζῆν. ἀπὸ δὲ τῆς ἐκβολῆς τούτου τοῦ ποταμοῦ οὐκ ἑκάς ἐστι πέτρη ἐν τῇ θαλάσσῃ ὑπὸ τῶν κυμάτων τετρυπημένη ἐς ἑξήκοντα ὀργυιὰς τὸ ὕψος, ἡ δὲ ψαλὶς τοῦ ὀρύγματός ἐστι τοσαύτη ὥστε καὶ δύνασθαι νῆας μακρὰς ῥηϊδίως ὑποπλῶσαι. περὶ δὲ τῶν ἀλλέων ἐκεῖ πετρέων τόνδε τόν λόγον λέγουσι, ὡς ἔσκε μάγος τις ἐνθαῦτα εἰδὼς πάντα τὰ ἀνθρωπήϊα πρήγματα· τοῦτον δὴ συνοικήσαντα γυναικί τινι ἐπιχωρίῃ χρόνῳ ἀπολιπέειν αὐτὴν βούλεσθαι, τὴν δὲ λισσομένην οὐδέν τι μᾶλλον κατανύσαι· τέλος δὲ περιημεκτησᾶσαν τῷ πρήγματι κατ' ὧν ἀρᾶσθαί οἱ μετ' ἑωυτῆς καὶ τοῦ παιδὸς σφέων ἐς πέτρας ἀλλάξασθαι, τὸ καὶ εὐθέως συντυχέειν. τοιαῦτα περὶ τουτέων μυθολογέουσι.

Three kinds of Geysirs — water, steam, and mud-springs. The Great Geysir, and its eruptions.

Αἱ δὲ πηγαὶ κείμεναι ἔασι ἐν ὑπωρέῃσι οὔρεος οὐ μεγάλου, εἴκοσι καὶ δύο ἐοῦσαι τὸν ἀριθμὸν τὰς ἀληθινάς γε πηγὰς λογιζομένῳ. τρία γάρ ἐστι εἴδεα τῶν πηγέων, τὸ μὲν γὰρ ὕδωρ, τὸ δὲ καπνὸν μοῦνον ἐκφυσᾷ, τὸ δὲ ἄλλο εἶδός ἐστι τέλμα βορβόρου αἰεὶ ζέοντος. ἀξιολογωτάτη δέ ἐστι ἡ μεγάλη πηγή, τῆς ἡ φύσις τοιήδε· λίμνην ἔχει τροχοειδέα, καὶ κρηπῖδα κατηρεφέα ἐπὶ τοῦ ὕδατος εὖ κύκλῳ φύσει ἐξεργασμένην, τὸ δὲ μέγαθος τῆς λίμνης κατ' ἡμίπλεθρον μάλιστά κῃ. ἐν μέσῳ δέ ἐστι σωλὴν μέγας ἐς τὰ κοῖλα τῆς γῆς κάτω ἀγόμενος, τοῦ τὸ βάθος φασὶ πήχεας εἶναι Σαμίους τρεῖς καὶ τεσσεράκοντα (ὁ γὰρ Σάμιος τοῦ βασιληΐου πήχεος ἐλάσσων ἐστὶ τρισὶ δακτύλοισι) ὁδοίπορον γάρ

τινα μετρῆσαί κοτε, τὸν δὲ πυθμένα οὐκ ἂν ἴδοις οὐδ' ἐπεὰν κενὴ ὕδατος ἔῃ. ἡ δὲ λίμνη ὕδατος ζεστοῦ ἐστὶ πλέη ἀτμίζοντος αἰεί, ἐπεὰν δὲ γένηται τὸ ἀναφύσημα (συμβαίνει δὲ τοῦτο τριταῖον ἢ τεταρταῖον μάλιστά, ἔστι δε ὅτε δὶς τῆς αὐτῆς ἡμέρης) ἀναζέει τότε πολὺ τὸ ὕδωρ, βρονταὶ δὲ ὑπόγαιαι κτύπῳ μεγαλῷ ῥήγνυνται, ἔπειτα δὲ ἀναφυσᾶται βιαίως κάτωθεν τὸ ὕδωρ, θωῦμα μέγιστον ἰδέειν, ἐς ὀργυιὰς ὀκτὼ καὶ δέκα καὶ ἔτι μᾶλλον. οἱ δὲ ἐπιχώριοι φάσκουσι λέγοντες ἐς ὀργυιὰς τεσσεράκοντά ἐστιν ὅτε ἀναβαίνειν, μεγαλύνοντες τὸ ἀληθές, ὡς ἐμοίγε δοκέειν· χρόνῳ δὲ οὐ μακρῷ αὖθις ἐς τὸν σωλῆνα ἀναρροφέεται πᾶν τὸ ὕδωρ μάλιστά κως κατὰ τὸν τῆς Χαρύβδιος τρόπον, ἡ γὰρ κατὰ τὸν Ὅμηρον:—

δεινὸν ἀνεῤῥοίβδησε θαλάσσης ἁλμυρὸν ὕδωρ,
ἤτοι ὅτ' ἐξεμέσειε, λέβης ὣς ἐν πυρὶ πολλῷ,
πᾶσ' ἀναμορμύρεσκε κυκωμένη· ὕψοσε δ' ἄχνη
ἄκροισι σκοπέλοισιν ἐπ' ἀμφοτέροισιν ἔπιπτεν.
ἀλλ' ὅτ' ἀναβρόξειε θαλάσσης ἁλμυρὸν ὕδωρ
πᾶσ' ἔντοσθε φάνεσκε κυκωμένη, ἀμφὶ δὲ πέτρη
δεινὸν ἐβεβρύχει, ὑπένερθε δὲ γαῖα φάνεσκε
ψάμμῳ κυανέη [*].

ἐνέρθε δὲ τοῦ σωλῆνός ἐστι κοῖλον μέγα ὕδατος θερμοῦ πλέον, τεῦ δὲ ἕνεκα ἀναζέοι ἑκάστοτε ἡ πηγὴ ἀνθρώπων τίς ἂν ἀτρεκέως γινώσκοι; λέγουσι μὲν νῦν οἱ ἐπιχώριοι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες ἄλλῳ δέ τεῳ, ὑπὸ τῇ πηγῇ εἶναι ὄφιν μεγάθει

Legends told of the Great Geysir.

κάρτα μέγαν, ἀνήκειν γὰρ ἐνθένδε ἐς θαλάσσην· τοῦτον δὴ τοῦ Θώρου (οὕτω γὰρ καλέουσι τὸν Δία) χαλκεύειν τὰ βέλεα, ὅκως δὲ χυτοὺς τοὺς κεραυνοὺς ἐς τὸ ὕδωρ ἐμβάψειε· τότε δὴ ὑπερζέειν τὴν πηγήν. ἄλλα δὲ πολλὰ μυθολογέουσι ἅπερ διηγέεσθαι οὐκ ἀξιῶ, λεγέτω δέ τις ἑωυτῷ τὰς αἰτίας ἅστινας νομίζει ἐς τὰ τοιαῦτα ἱκανὰς εἶναι. δοκέει δέ μοι κινέειν τὰς πηγὰς τὠυτὸ πῦρ ὅπερ καὶ ἐκφυσᾷ τῶν οὐρέων τὸν ῥύακα· πᾶσα γὰρ ἡ Θούλη, καίπερ παγετώδης καὶ ὑπὸ τὴν Ἄρκτον ἐοῦσα, ὅμως δὲ πῦρ ὑπόγαιον ἔχει ὅσον οὐκ ἐπιπολαῖον ἐόν, ὅθεν καὶ ταῦτα τὰ ἔργα παρὰ φύσιν ἀποδεξαμένη ἐστί.

[*] Odyss. XII. 236—243.

Ἄλλην δὲ πηγὴν ἀπέχουσαν ταύτης ὅσον στάδιον μάλιστα ἀπεικάζουσι οὐνόματι τῷ ἀγγηΐῳ ἐν ᾧ δονέουσι τὸ γάλα διὰ τοιόνδε αἴτιον· λίμνην οὐκ ἔχει ὥσπερ ἡ μεγάλη ἀλλὰ σωλῆνα μοῦνον εὐρύστομον, ἐς ὃν κατίδοις ἂν καὶ ἐς πολλὰς ὀργυιάς· αὐτομάτη μὲν ὣν ἐκφυσᾷ κατ᾽ ἡμερὴν τὸ ὕδωρ, μᾶλλον δὲ ἀναγκαζομένη ὅκως τις ἐμβάλοι κατὰ τοῦ στόματος λίθους ἢ βώλους, τότε γὰρ ψοφέουσα μέγα πάλιν ἐκρίπτει αὐτοὺς βιαίως μετ᾽ ὕδατος ὡς ἐν κίονι ἐόντος. αἱ δέ ἄλλαι οὐ ῥηγνύαται ἀλλὰ λίμνας θερμοῦ ὕδατος ἔχουσι, διαφέρονται δὲ ἀλληλέων τῷ θερμῷ, ἐν τῇσι μὲν γὰρ ἕψουσι τὰ σίτια οἱ ἐκεῖ, ἐν τῇσι δὲ λούονται. περὶ τῶν πηγέων εἰρήσθω ταῦτα.

Strokkr, or the Churn, and the other Geysirs.

Τὰ δὲ πυρφόρα οὔρεα, ἔστι γὰρ αὐτέων οὐκ ὀλίγα, νομίζω οὐ πολλῷ τεῳ τῶν πηγεών ἔσσον ἀξιαπήγητα. πάντων δὲ οὐνομαστοτάτη ἐστὶ Ἕκλη, πρὸς νότον ἄνεμον ἐνθεῦτεν ἐοῦσα, πολλῷ γε μέντοι τῆς Σκάπτης μεγάθεϊ ἔσσων, ἀλλὰ συχνοτέρως ἐκβάλλει τὸν ῥύακα, οὐ γάρ κω ἡσυχίην πλεῦν ἢ ἑβδομήκοντα ἔτεα ἄγεσκε συνεχῶς, δεκαέτης δὲ ῥήγνυται τὰ πολλά. δίδυμα δὲ ἔχει τὰ κάρηνα, ἐπ᾽ οἷσι οὐ τήκεται ἡ χιών, τὸ γὰρ ὕψιστον λέγεται ὀλίγου ὀκτὼ σταδίων δέεσθαι. τὸ δὲ πεδίον τῆς Ῥάγγης ποταμοῦ (ἡ γὰρ περιῤῥέει τὴν Ἕκλην) ἐστὶ πυριληπτὸν πανταχῇ καὶ ἐρῆμον, τοσούτους γὰρ ἀπολώλεκε πρὸ ἐμεῦ ὁ ῥύαξ ὁ διάπυρος ὥστε φοβέεσθαι πλησίον οἰκέειν ἅπαντας· οὐδὲ ἀναβῆναι ἑκών γε εἶναι τολμήσει τις· τοῦτο δὲ ποιεῦσι οὐδέν τι μᾶλλον διὰ φόβον τοῦ πυρὸς ἢ οὐ διὰ δεισιδαιμονίην, οἴονται γὰρ τὸ οὖρος ἱρὸν εἶναι οἱ πολλοί, περιημεκτήσειν τε τὸν θεὸν ἐάν τις ἐπιβατεύῃ. ἐν δὲ τῇσι ὑπωρέῃσί ἐστι μέγα τι ὄρυγμα, οὐ χειροποίητον ἐόν, ἀλλ᾽ αὐτόματον, κατ᾽ ὀκτὼ σταδίους τὸ μῆκος· τοῦτο δὴ νομίζουσι ὑπὸ Σατύρων καὶ δαιμόνων ἀνδροφάγων οἰκέεσθαι, τεκμήριον φάσκοντες ὄστεα ἀνθρώπινά τε καὶ θηρεῖα ἐκεῖ πάλαι εὑρεθῆναι, ἐμοὶ δὲ τοῦτο κατ᾽ ἀληθηΐην δοκέοι ἄρκτων μᾶλλον καὶ λύκων ἔργον εἶναι. ἔτι δέ φασι οἱ λογιώτεροι λέγοντες ἐπὶ τὸ ὄρυγμα τοὺς ἀπόλιας καὶ πανούργους κοτὲ φοιτῆσαι, ἐκεῖθε δὲ αὐλισαμένους ληΐσασθαι καὶ φονεῦ-

Volcanoes. Hekla, noted for the frequency of its eruptions. Superstition concerning it.

Surtshellir, or the Devil's Cave, infested by outlaws.

σαι τοὺς περιοικεῦντας, τοὺς δὲ οἴεσθαι ταῦτα ὑπὸ στυγερῶν δαιμόνων γενέσθαι.

Skapta Jökull, the largest of volcanoes. Its three peaks.

Ἐνθεῦτεν δὲ πρὸς ἥλιον ἀνατέλλοντα ὁδοιπορέοντί ἐστι Σκάπτη, ἔουσα οὐρέων πυρφόρων πολλῷ τὸ μέγιστον, Αἴτνης γὰρ τῆς Σικελικῆς τριπλάσιον ἔχει τὸ μέγαθος, τὴν δὲ περίοδον πλεῦν ἢ ὀκτακόσια στάδια, ὕψος δὲ, ᾗ αὐτὸ ἑωυτοῦ ὑψηλότατον ἐστι, ἑβδομήκοντα πλέθρα, καὶ πλεῦν καὶ ἔλασσον· ἔχει δὲ τρεῖς κορυφὰς, τῶν τὴν πρὸς ἀπηλιώτην καλέουσι Ὀραίφην, τὴν δὲ μέσην Βάτνην (ἐθέλει δὲ τοῦτο λίμνην λέγειν, λίμνη γὰρ ἦν κοτε μεγάλη ἐπ' ἄκρῳ) τὴν δὲ πρὸς ἑσπέρην Σκάπτην, ἀπὸ τῆς δὴ κατέβη ὁ μέγιστος ῥύαξ τῶν ὄψει ἢ λόγῳ ἴσασι ἄνθρωποι. ὡς γὰρ ἔλεγέ μοι τῶν ἱρέων τις πρηυτάτῳ κεχρῆσθαι τῷ προγενομένῳ χειμῶνι, ὥστε ἱσταμένου τοῦ Θαργηλιῶνος μᾶλλον τοῦ νομιζομένου εὐθηνέειν ἄνθεσι καὶ ποίῃ τὴν γῆν, οἱ γὰρ Θουλαῖοι ἓξ μῆνας οὐδὲ ὁρῶσι τὸν ἥλιον, ὥστε μὴ ἀναβλαστάνειν τι ἕως ὀψὲ τοῦ ἐνιαυτοῦ. φθινομένου δὲ τοῦ μηνὸς θώυματα πολλὰ πεφάνθαι, τὸ δὲ μέγιστον ἐξαπίνης οὖρος ὑψηλὸν τῆς πέλας θαλάσσης ἀναστῆναι, ἔπειτα δὲ ἐκβαλέειν κίσηριν οὕτω ἄπλετον ὡς καὶ τὰς νῆας κωλύειν μὴ διαβαίνειν· τέλος δὲ νῆσον συνεστηκέναι οὐκ ὀλίγην, τῷ δὲ ὑστέρῳ ἔτεϊ ἀδοκήτως αὖθις καταποντισθῆναι. ταῦτα μὲν ὦν εἰ καί τεῳ δοκέοι ἄπιστα εἶναι, ὅμως δὲ ὑπ' ἀξιοπίστων ἐλέγετο, καὶ ἐν τῇσι ἀναγραφῇσι αὐτὸς εἶδον ἐγγεγραμμένα, οὐδὲ χρὴ, ἐμοὶ δοκέειν, ἐν γῇ οὕτω τερατώδεϊ ἐούσῃ τὰ τοιαῦτα γενέσθαι τοὺς μὴ ἰδόντας ἐξάρνους εἶναι. λεπτὴ δέ τις ἀτμὶς ἔπειτα κατύπερθε ἐπιπολῆς τῶν ἄκρων ὤφθη, καὶ ἔσεισε μεγαλωστὶ πολλὰς ἡμέρας· τὸ μὲν ὦν πρῶτον ἐν ὀλιγωρίῃ εἶχον οἱ ἐκεῖ, ἅτε τοιούτων ἔμπειροι ὄντες, τῶν δὲ σεισμῶν ἤδη βιαιοτέρων γενομένων ἐφοβέοντο, προώρεον γὰρ μέρος τι τὰ συμβησόμενα.

The great eruption of Skapta in 1783. Preceding phenomena.

Τότε δὲ ἀνθράκοισι ὗσε καὶ λίθοισι οὕτω δὴ συνεχῶς, μόλις ἂν ἐκφεύξειας τὸ θείνεσθαι. ἐγένετο δὲ καὶ πρῆγμα ἄτοπον· ὁ γὰρ Σκάπτης, ποταμὸς νηυσιπέρητος ἐὼν, διὰ τοῦ καύματος ὑπερζέσας παντελῶς ἐξηράνθη· οὕτω δὴ ἐκ τῶν κορυφέων κατέβαινε ὁ ῥύαξ, οὐκ ἐν

The fiery stream of lava.

τῷ αὐλῶνι μούνῳ τοῦ ποταμοῦ ἀλλ' ὑπὲρ τοὺς ἄγρους μακρὴν ὑπεῤῥέων, ἐπέκλυσε δὲ ὅ τι ἐμποδὼν εἴη, εἴτε ζῷον εἴτε φυτόν· ἅμα δὲ βροντὴ καὶ ἀστραπὴ συνεχὴς, μετὰ τῶν σεισμῶν καὶ βρυχημάτων ὑπογαίων, καὶ δυσώδης τις ἀτμὶς τοῦ καπνοῦ γενομένη ἐφόβεον τοὺς ἐπιχωρίους ἐς τοσοῦτο ὥστε δοκέειν μῆνιν ἀπὸ τῶν θεῶν καταλαβέειν σφέας, τὴν δὲ αὐτίκα πάντας ἀνθρώπους ἐς Τάρταρον καταῤῥίψειν.

Μετὰ δὲ τὴν ἔκχυσιν τοῦ ῥύακος ἐγένετο λιμὸς ἴσως ἔτι δεινότερος, καὶ μετὰ αὐτοῦ λοιμὸς ὅσος οὔκω πρότερον ἐν τῇ νήσῳ. ἰχθῦς μὲν γὰρ τότε μοῦνον καὶ οὐκ ἄλλοτε ἐπιλιπόντας οὐκ εἶχον, οὓς πάντων ἀνθρώπων μάλιστα σιτέονται· ἐπεχώσθησαν μὲν γὰρ οἱ πέριξ ποταμοὶ, τὴν δὲ παραλίην τοσοῦτο νέφος καπνοῦ περιέφραξε ὡς ἀνάγεσθαι ἀδύνατον εἶναι· ἔτι δὲ καὶ νῦν φασὶ τοῦτον τὸν τόπον τοὺς ἰχθῦς ἀποφεύγειν. ἐπέλιπε δὲ ἅμα καὶ τῶν θαλασσίων ὀρνίθων τὰ ὠὰ, ὅσα γάρ τις ἂν εὕροι διὰ τοῦ καπνοῦ ἐπὶ βρῶμα ἀνθρωπηΐον ἄχρηστα ἐγεγένητο. ἐπεὶ δὲ πᾶν τὸ πεδίον ψόλῳ καὶ ἀνθράκοισι ἐκαλύφθη ἐς σπιθαμὴν μάλιστα τὸ βάθος ἐφθείρετο καὶ ὁ χόρτος, ὥστε ἀπολέσθαι τὰ πολλὰ τῶν ζῴων, μάλιστα δὲ τὰ λεπτὰ τῶν προβάτων. πρωῒ γὰρ τῆς ὀπώρης ἐπέβη αὐτοῖσι νοῦσος οἵη οὐ πρότερον, ἄλλα δὲ ἀπ' ἄλλων ἐμπιπλάμενα αὐτῆς ἐν τοῖσι ἀγροῖσι ἐξαπίνης ἔθνησκε, ἔπειτα δὲ ἐς τὰ κτήνεα καὶ τοὺς ἵππους ἐπήρχετο. τέλος δὲ νούσῳ παραπλησίῃ ἐνόσεον καὶ οἱ ἄνθρωποι διὰ τοῦ ὕδατός τε καὶ τοῦ ἠέρος μιανθέντος. ἐπεὰν γὰρ ἡ νοῦσος ἐπιλάβῃ τινα ᾤδεε αὐτῷ πάντα τὰ μέρη τοῦ σώματος, σπασμὸς δὲ βίαιος συνείλκεε τὰ νεῦρα οὕτω ὡς δοκέειν αὐτὸν ἀπὸ μητρὸς ἔμπηρον εἶναι. οἱ δὲ ὀδόντες λυθέντες ἐξ ὧν ἔπιπτον, ἐν δὲ τῷ λάρυγγι ἐνεφύοντο ἕλκεα καὶ σηπεδόνες χλωραὶ ὥστε καὶ τὴν γλώσσην κοτὲ σηπομένην ἐκπίπτειν. οὕτω ἀκμάζοντες τῷ πάθεϊ καὶ δίψῃ ἀπαύστῳ κατεχόμενοι ἀπέθνησκον οἱ πολλοὶ, οἱ δὲ θείῃ τινὶ μοίρῃ πρὶν θανέειν ἐμαίνοντο. φάσκουσι δὲ οὕτω, εἴτε λιμῷ εἴτε λοιμῷ πλεῦν ἢ πεντημορίην πάντων τῶν νησιωτέων φθαρῆναι. ἐμοίγε δὲ οὐ δοκέει τοῦτο πιθανὸν εἶναι, ἀλλὰ κατὰ τὸ μέγαθος τῆς λύπης

Famine produced by the loss of fish, and sea-birds' eggs.

Loss of cattle, through famine and disease. Breaking out of the plague.

οὕτω τὸ ἀληθές σφεας ὑπερβαίνειν· περὶ δὲ τουτέων νῦν εἰρήσθω.

Natural history of Iceland. The whale,—size, habits, mode of capture, &c.

Τῶν δὲ φαλαινῶν, ταύτην γὰρ νομίζω ἀξιολογωτάτην εἶναι τῶν ἐκεῖ ζώων, ἡ φύσις τοιήδε· κῆτός ἐστι θωυμάσιον ὅσον τὸ μέγαθος, γίνεται γὰρ ἐς ἑξήκοντα πήχεας τὸ μῆκος καὶ μέζων ἔτι, ἡ δὲ κεφαλή ἐστι τοσαύτη, χαίνοντος τοῦ στόματος δύναιτο ἂν βᾶρις αὐτοῖσι ἀνδράσι ἐσπλῶσαι. ὀδόντας δὲ οὐκ ἔχει ἀλλὰ ῥάβδους ὀστείνους περὶ πᾶν τὸ στόμα, λεπτῷ τριχώματι κεκαλυμμένους· κητέων γὰρ πολλῷ μεγίστη ἐοῦσα ὅμως τὰ ἐλάχιστα μοῦνα τῶν ἰχθύων νέμεται· ἀγρεύει δὲ αὐτὰ ὧδε, ἀνοίξασα εὐρέως τὸ στόμα ἔπειτα δι' ὕδατος ἀΐσσει, εἰσνέουσι δὲ ἴχθυες παντοῖαι, ἀλλ' οὐ γὰρ δύναται εἰ μὴ τὰ λεπτότατα καταῤῥοφέειν ἡ φαλαίνη (λάρυγγα γὰρ στεινότατον ἔχει) τὰ μέζονα ζῶα ὑπὸ τοῦ τριχώματος ἐξείργεται. καταπίνουσα δὲ οὕτω ὕδατος μέγα χρῆμα οὐκ ἂν ἐξεμέειν ἐδύνατο, εἰ μὴ διὰ περισσήν τινα μηχανὴν· ἔχει γὰρ τοὺς μυκτῆρας ἐπ' ἄκρης τῆς κεφαλῆς ἵνα κατύπερθε τῶν κυμάτων ὦσι, διὰ δὲ τούτων ἐκφυσᾷ βιαίως τὸ ὕδωρ ἐς πήχεας τριάκοντα μάλιστα, ὥστε ὀφθῆναι ἐπὶ μακρότατον· σημεῖον δέ ἐστι τοῦτο τῆς ἀγρῆς τοῖσι νησιώτῃσι, θηρεύειν γὰρ αὐτὴν καὶ τὸ κάρτα φιλέουσι. ἀγραὶ δέ σφεων πολλαὶ κατεστέασι καὶ παντοῖαι, τὴν δὲ ἀξιολογωτάτην γράφω. ἐπεὰν πελάσῃ φαλαίνη τῷ αἰγιαλῷ κυκλώσαντες σχεδίῃσι, ἐξ ὧν ἐλαύνουσι λίθοισι πρὸς τὴν γῆν, φοβέεται γὰρ ἡ φαλαίνη τὸν πάταγον τῶν λίθων, οὐδὲ διεκδύει· ἔπειτα δὲ ἐς τὰ βράχεα δραμόντες λογχῇσι αὐτὴν διατετραίνουσι· λέγουσι δὲ ὅτι μίαν ἐὰν κτείνωσι ἄλλας δὴ μέλλουσι βεβαίως καὶ οὐκ ἐς μακρὴν ἔχειν, διὰ γὰρ τοῦ αἵματος ὑπερφυῶς καὶ τηλόθε ἐπέλκονται. ὠφελιμωτάτη δὲ τοῖσι Θουλαίοισι ἡ φαλαίνη, σιτέονται μὲν γὰρ τὸ κρέας, ἐστὶ δὲ χοιρέῳ μάλιστά κως ἐοικὸς, φασὶ δὲ μίαν πάσῃ τῇ νήσῳ ἐς σῖτον μίαν γῶν ἡμέρην ἐξαρκέειν. αἱ δὲ ἐν ποσὶ μᾶλλον εἰλεύμεναι, δίξαι γὰρ δή εἰσι αἱ φάλαιναι, ἄλειφαρ ἔχουσι πολλὸν, διότι καὶ ἄνθρωποι ἀλλόφυλοι δίζηνται αὐτὰς θηρώμενοι ὥστε ἀπιποῦν τόδε, τὸ δὲ ἕτερον εἶδος μέζον ἐὸν ἀλυσιτελὲς μᾶλλον, καὶ δὴ καὶ ἀγριώτερον, τρωματισθὲν

Two species, the common and the razor-back.

γὰρ ἀπόλλυσι πολλοὺς, θρύπτον τὰς σχεδιὰς ὑπὸ τῶν πληγέων τῆς οὐρῆς, διόπερ ἀῤῥωδέουσι αὐτὸ μέγα, οὐδὲ σινέονται· τοῦτο δὲ τὸ εἶδος καλέουσι ξυρόνωτον, ἔχει γὰρ ἐπιπολαῖον τὴν ἀκάνθην.

Seals, walrus, reindeer, bears, &c.

Φῶκαι δέ εἰσι παντοῖαι, αἱ μὲν γὰρ λεόντων, αἱ δὲ ἄρκτων αἱ δὲ καὶ ἀνθρώπων πρόσωπα ἔχουσι. τῇσι δὲ λέγεται ἐνεῖναι τὰς τῶν τεθνηκότων ψυχὰς, οἷσι αὐτὴ ἡ ζημίη ἀντὶ μεγαλῶν ἁμαρτάδων προτίθεται. θηρῶνται δὲ ὅμως λόγχῃσι, ἄλειφαρ γὰρ ἐξ αὐτέων ἐπικτέωνται πολλὸν, καὶ ἐσθῆτι νομίζουσι χρᾶσθαι τοῖσι δέρμασι. τουτέων δὲ γένος τι φύσει ἡσυχίου ἐστὶ τρόπου, τρωματισθὲν δὲ δεινότατον γίνεται, φύει γὰρ χαυλιόδοντας τοῦ ἵππου ποταμίου μέζονας. ἐστὶ δὲ ἐν τοῖσι ἐρήμοισι κατὰ τὸ μέσον τῆς νήσου μέγας τις ἔλαφος, μέγαθος ὅσον ἵππος, φορέει δὲ κέρεα ὑπερμεγάθεα· τοῦτον δὴ τὸν ἔλαφον δεδιδαγμένον ὥστ' εἶναι χειροήθεα τρέφουσί τινες τῶν Ὑπερβορέων ἐθνέων ἵν' ἁμάξας ἕλκῃ, οἱ δὲ Θουλαῖοι ἅρματα οὐκ ἔχουσι ἀλλ' ἱππάζονται μοῦνον. ἄρκτοι δὲ βορήϊαι οὔκ εἰσι ἐνθαῦτα, πλὴν ἐπεάν τις, πηγνυμένης τῆς θαλάσσης, ἐπὶ κρυστάλλου δεῦρο βαδίσῃ. ἡ δὲ βορήϊη ἄρκτος ἐστὶ λευκὴ, μέζων δὲ τῆς Συρίης καὶ κολυμβᾶν κάρτα δυνατή. δοκέει γὰρ (προσθηκὰς γὰρ δὴ ἀλέεσθαι οὐκ ἀξιῶ) ἐν μὲν τοῖσι ψυχροῖσι τῶν χωρίων λευκὰ γίνεσθαι τὰ πολλὰ τῶν θηρίων, ἐν δὲ τοῖσι θερμοῖσι σπανιώτερα. τὸ δὲ αἴτιον ἄδηλόν ἐστι, φασὶ δέ τινες ὅτι τὸ χρῶμά ἐστι τοιοῦτον ἵνα ὁμοῖα ἔοντα τῇ χιόνι μᾶλλον λανθάνειν δύνωνται.

Reputed cunning of Iceland foxes.

Ἄθηρος δὲ μάλιστα χωρέων ἡ Θούλη οὐδ' ἄλλο θήριον ἀξιόλογον εὕρηκα, εἰ μὴ τὰς ἀλώπεκας. ἔασι δὲ αἱ μὲν λευκαὶ, αἱ δὲ κυάνεαι, οὐ πολλῷ τεῳ λαγῶν μέζονες, συνετωτάτας δὲ θηρίων αὐτὰς καλέων οὐκ ἂν ἁμάρτοις· τεκμήριον δε· ᾠῶν γὰρ ὀρνιθείων δεινῶς γλιχόμεναι οὐκ ἀναβαίνειν ἐπὶ τὰς πέτρας δυνέαται, τοιγαρῶν τοιόνδε τι μηχανῶνται· ἐπεὰν καταλάβωσιν ἄλλη ἄλλης τῆς οὐρῆς ἐς ὃ ἂν ἱκανὸς φαινῆται ὁ ὅρμος ἐὼν, ἔπειτα κρεμέαται ἑωυτὰς ἀπ' ἄκρης τῆς πέτρης, ἡ δὲ κατώτατη λαμβάνει τῷ στόματι τὰ ᾠὰ, οὐκ ἑωυτῇ δὲ, ἀλλ' ἐς τὸ μέσον τίθησι καὶ ἴσος ἐστὶ πᾶσι ὁ μερισμός. ὡς δέ φασι, οὐκ οὕτω πιστὰ

λέγοντες, τὰς ἀλώπεκας ἀγρεύειν τοὺς πέρδικας ὧδε· ἕρπειν τινὰ ἐπὶ γαστέρος καὶ ὅκως πελάσειε τῇ πέρδικι ἐκείνῃ ὅθεν πνέει ὁ ἄνεμος ὑποκινέειν τῇ οὐρῇ τὴν χιόνα, τὴν δὲ τὸν ἄνεμον ἐπὶ τοὺς πέρδικας φέρειν, δοκέοντας δέ σφεας νιφετὸν εἶναι οὐκ ἀποπτάσθαι, φιλέειν γὰρ ὅταν νίφῃ ἠρεμέειν. ἐμοὶ δὲ οὐ δοκέει, κῶς γὰρ οὐκ ὀσφραίνονται τῆς ἀλώπεκος οἱ πέρδικες;

Birds — the sea-eagle, osprey, eider-duck, &c.

Ὀρνίθων δὲ θαλασσίων πλῆθος ἄμετρόν ἐστι, κῆκές τε καὶ λάροι καὶ κολυμβίδες· αἰετὸν δὲ τὸν πύγαργον ἀπηγήσιος ἄξιον δοκέω· ἰχθυοφάγος γὰρ ἐὼν ὀλίγους ὅμως ἀγρεύειν δύναται διὰ τὸ μὴ πέτεσθαι ταχέως, τεχνάζει δὲ τοιάδε· ὅκως ἴδοι ἁλιεύσασαν τὴν φήνην οὕτω δὴ πολλὸς ἐγκέεται αὐτῇ, ἡ δὲ φήνη φοβεομένη ἀπ' ὧν ἔρριψε τὸν ἰχθὺν, τὸν φθάνει πεσόντα ὁ ἁλιαετὸς, οὐδὲ σίνεται τὴν φήνην. χῆνες δὲ πολυείδεες ἐπὶ τῶν πετρέων τίκτουσι τὰ ᾠὰ, νῆσσα δέ τις μάλιστα τῆς ἄπλετος ὁ ἀριθμὸς· ταύτης δὲ οὐδὲν τοῖσι Θουλαίοισι τιμιώτερον, ἔχει γὰρ πτίλα ἀλλέων ὀρνίθων πλεῖστα καὶ λεπτότατα· εἰαρινὴ δὲ ἡ θηλεῖα τίλλει ἑωυτὴν νεοσσιὴν ποιευμένη, ἐπεὰν δὲ λάβωσι τὰ πτέρα αὖθις ποιέει τὠυτὸ, λέγουσι δὲ ὡς ἐὰν τρὶς τοῦ ἔτεος ληΐζωνται τὴν νεοσσιήν ἡ δὲ οὐκ ἄλλην ποιέει, δὶς δὲ ὅμως ἐᾷ λαβέειν. περὶ τῶν ζώων τῶν Θουλαίων οὕτω ἔχει.

The inhabitants. Icelanders, like their climate, differ from the rest of mankind. They have receded while others have advanced.

Δεῖ δὲ ἐμὲ περὶ Θούλης μηκύνειν τὸν λόγον ὅτι πλεῖστα θωυμάσια ἔχει ἢ ἄλλη πᾶσα χώρη, καὶ ἔργα λόγου μέζω παρέχεται. οὐρανὸν γὰρ ἑτεροῖον κατὰ σφέας ἔχοντες, καὶ οὔρεα ἀλλοῖα ἢ αἱ ἄλλαι νῆσοι οὕτω καὶ τῶν ἄλλων ἀνθρώπων τὰ μέγιστα διαφέρουσι. οἱ μὲν γὰρ ἄλλοι, ἐμοὶ δοκέειν, προβαίνουσι μαθησέει τε καὶ ἐμπορίῃ καὶ τέχνῃσι χρεώμενοι, οἱ δὲ Θουλαῖοι ἀνακεχωρήκασι τοῖσι πᾶσι θωυμάσιον ὅσον. ὡς γὰρ μετ' ἡμέρην τριμῆνον ἐοῦσαν τοῦ θέρεος (τότε γὰρ δὴ ὁ ἥλιος οὐ καταδύνει οὐδ' ἐπ' ἐλάχιστον χρόνον) ἔπειτα νυκτὶ ἐννεαμήνῳ χρεώνται, οὕτω καὶ τῶν ἐν Εὐρώπῃ σπουδαιότατοι τὸ πρὶν γενόμενοι, νῦν αὐτέων τουτέων ἔθνος οὐδὲ ἓν ὅτι μᾶλλον ῥάθυμόν ἐστι. φαίνονται γὰρ καὶ ναυτικοὶ γεγενῆσθαι τὸ πάλαι, ναυτικήν τε ἐκτέατο οὐκ οὕτω σμικρὴν καὶ ἀποίκους

ἑωυτῶν ἐξέπεμψαν. (τὴν γὰρ μεγάλην ἤπειρον τῆς Ἀτλάντιδος πρῶτοι δοκέουσι πρὸς ἡλίου δυσμὰς πλώσαντες ἐξευρηκέναι,) νῦν δὲ τῆς θαλάσσης εἰ μὴ ἀνάγκῃ οὐκ ἅπτονται· ἀποδημέειν δὲ ἐκ τῆς πάτρης οὐκ ἥκιστα ἀλλὰ μάλιστα φεύγουσι. εὐνομίῃ δὲ χρεώνται ἀνθρώπων σχεδόν τι μάλιστα, τὸ γὰρ κλωπεύειν δεινότατον ἡγέονται, κτεῖναι δέ τινα εἰ μή τύχῃ οὐδεὶς διὰ πολλῶν γε ἐτέων τετόλμηκε, ὥστε εἰργμῶν, ὡς εἶπαι, ἥκιστα δεέσθαι. τὴν δὲ γυναικηΐην ἀρετὴν κάρτα τιμῶσι, τὸ γὰρ πάλαι εἴ τις γυνὴ μετὰ τὸν γάμον πορνεύοιτο καταποντωθεῖσα οὕτω ἐζημιώθη.

Their virtuous habits.

Τῶν δὲ οἴων κρέας μάλιστα σιτέονται, ἔστι γὰρ ἀριθμὸς ἄπλετος, βοέων δὲ οὐ πολλὸς, ὥσπερ δὲ καί τινες τῶν Σκυθῶν πίνουσι αὐτέων τὸ γάλα. οἱ δὲ πενέστεροι ἰχθύσι, πρὸς τὸν ἥλιον αὐήναντες, ἀντὶ ἄρτου χρέωνται. πληθύει γὰρ ἰχθύων λιμναίων τε καὶ θαλασσίων ἡ νῆσος, ἐκείνους δὲ μᾶλλον σαγηνεύουσι, ἀνάγεσθαι γὰρ ἐς πόντον οὐ φιλέουσι.

Sheep and lake-fish chiefly provide them with food.

Οἴκιαι δὲ σφέων κατεστέασι βώλιναι μάλιστα ἢ καὶ ξύλιναι, λίθους γὰρ ἐς οἰκοδομίην γε χρησίμους οὐκ ἔχουσι. σκοτειναὶ δὲ κάρτα ἔασι, ὀλίγας ἔχουσαι θυρίδας διὰ τὸ ῥῖγος.

Their houses usually of turf.

Κατὰ δὲ κώμας σμικρὰς οἰκέεται ἡ Θούλη τὰ πολλὰ, ἡ δὲ πρώτη πόλις, οὐ μεγάλη τις ἐοῦσα πρὸς λίβα τῆς νήσου πεπόλισται. καλέουσι δὲ αὐτὴν Ρεικιαβεικον, δύναται δὲ τοῦτο τὸ οὔνομα Καπνόπολις, Ρεικια γὰρ καλέουσι καπνὸν, Βεικον δὲ τὴν πόλιν, ἔχει δὲ τὸύνομα ὅτι θερμὰ ῥέεθρά ἐστι ἐγγύς. ἀντίον δὲ μάλιστά κῃ κείμενόν ἐστι ἀκρωτήριον μέγα ὥστε κόλπον εὐλίμενον παρέχειν, καὶ κατὰ νώτου μὲν τῆς πόλιος οὔρεα ἵσταται ὑψηλὰ, κέεται δὲ αὐτὴ ἐπ' ἀπέδῳ χωρίῳ.

Reykjavik (= steam-town) the capital.

Λογιώτατοι δὲ πάντων ἀνθρώπων ἐνομίζοντο οἱ Θούλαιοι τὸ πρὶν, τουτέων γὰρ οἱ ποιηταὶ καὶ ῥαψῳδοὶ τὰ πάτρια ἔπεα ἀείδοντες ἐς πάντα τὰ τῆς Εὐρώπης βασιλήϊα ὡδοιπόρεον, ποιητὰς γὰρ, ὡς δοκέειν, τότε πλεῦνας εἶχον ἢ πᾶσαι αἱ ἄλλαι χῶραι. ἔτι δὲ καὶ νῦν τὰ μαθήματα ἐπιμελῶς ἀσκέουσι, τῷ γὰρ μὴ διδασκομένῳ τοὺς παῖδας μεγάλη ζημίη κέεται. τὰ δὲ

Their former flourishing state of literature. The Sagas.

ἔπεα καλέουσι Σάγας (Σάγην γὰρ οὐνομάζουσι τὴν Κλειώ) ἐν οἷσι τῶν θεῶν καὶ τῶν πρὶν ἀνθρώπων μνημὴν ποιεῦσι.

Τῶν δὲ λογογράφων ἔσκε γάρ τις ἀοιδιμώτατος τοῦτον μνησθήσομαι. τὸν δὲ Σνόῤῥιν λέγω, ὁ γὰρ συνέγραψε τὸν Κύκλον τοῦ Χρόνου[b], ἐστὶ δὲ ἀπόδεξις ἱστορίης τῶν τῆς Σκανδίης βασιλέων, καὶ Σάγας παντοίας. ἐγένετο δὲ ὁ Σνόῤῥις πλουσιώτατος τῶν Θουλαίων, ἔχων γὰρ καὶ πρότερον χρήματα οὐκ ὀλίγα Ἑρδίσην ἔγημε γυναῖκα ἐπιχωρίην, κληρονομιήν γὰρ ἔσχε λαμπρήν. ἔγημε δὲ καὶ ἄλλην γυναῖκα, ὅπερ αὐτοῖσι οὐ νόμιμον ἐστι δύο γυναῖκας ἅμα ἔχειν, ἐκώλυσε δὲ οὐδεὶς, δυνατώτατος γὰρ ἔσκε τῶν ἐπ' ἑωυτοῦ, λέγεται δὲ μετὰ χιλίων ὀπαόνων καὶ ὑπασπιστῶν ἐς τὴν βουλήν κοτε ὁδοιπορῆσαι. φθονέοντες δὲ οἱ θεοὶ τῇ ἀτασθαλίῃ ὄλεθρον τῷ Σνοῤῥέει ἐνέβαλον· Ἥκων γὰρ ὁ τῆς Σκανδίης βασιλεὺς ὑποπτεύσας σφε ὡς τυραννίδος ἑωυτῷ προσορεγόμενον ἐκέλευσε τοὺς γαμβροὺς, ἐχθροὶ γὰρ ἐγένοντο διὰ τὴν δευτέρην γυναῖκα, μάλιστα μέν σφε ζῶντα ἄγεσθαι, εἰ δὲ μὴ, κτεῖναί γε. οἱ δὲ βουλόμενοι τὰ χρήματα κληρονομέεσθαι τὸν θάνατον συνώμοσαν. ὁ δὲ Σνόῤῥις μονωθεὶς, τέως μεν ἄντεσχε ἀνδρείως, ἔπειτα δὲ τρωμάτων πλήρης γενόμενος ἔπεσε, ἔτεα τρία καὶ ἑξήκοντα μάλιστα γεγονώς. μετὰ δὲ τοῦτον οὔτις κοτε τυραννίδα μνεώμενος ἐφάνη.

Snorri Sturluson, the great historian of Iceland. His life, ambitious projects, and murder.

Ἡ δὲ Θούλη ἀπ' ἀρχῆς εἶχε ὀλιγαρχίην τὴν πολιτηΐην, κρατηθεῖσα ὑπὸ τῶν δυνατωτάτων τῶν ἐς τὴν ἀποικίην τὸ πρῶτον ἐξελθόντων. Ἀράλδης γὰρ ὁ Ξανθὸς ἐπικαλεύμενος ἴσχυσας ἐν Σκανδίῃ, καὶ τοὺς παραδυναστεύοντας ὑποχειρίους ποιησαμένου αὐτὸς ἔσχε τὴν τυραννίδα, λέγουσι δέ σφε αἰνῶς φιλονεικέειν, ἐπεὶ Γύδην βασίλειάν τινα τῆς Ἰέρνης τῷ καλλέει ἀοιδιμωτάτην μνηστεύσας ὑπ' αὐτῆς ἐν ὀλιγωρίῃ ὡς βάρβαρος δή εἴχετο, τὸν δὲ ὦν μέγαν ὅρκον ὀμνύναι ἦ μὲν μὴ ξυρήσεσθαι τὴν κεφαλὴν ἐς ὃ ἂν τύραννος πάσης τῆς Σκανδίης εἴη. κτησάμενος δὲ ὅπερ ἠβούλετο μάλα ὑβριστικὸς ἐγένετο, καὶ

History of Iceland. Harald Haarfäger becomes tyrant of all Norway, according to his vow when wooing Gyda, an Irish princess.

[b] Heimskringla, or the World-Circle.

ἐλῃίζετο τοὺς ἀρίστους, οἱ δὲ ἀχθόμενοι τῷ κρατέει ἐβουλεύοντο λιπόντες τὴν πάτρην ἀποικίην τινὰ κτίζειν, ἐπεὶ κρησφύγετον οὐδὲν εὕροντο τῆς ὕβριος.

About this period (880 A.D.) Iceland had been discovered by a voyager named Floki.

Συνέβη δὲ ὀλίγῳ πρότερον τουτέων, περὶ ἔτεα πρὸ ἐμεῦ χίλια μάλιστα, Φλόκιδα ναύαρχόν τινα Σκανδικὸν πλεῦσαι ἐς τὴν Ἀρκτικὴν θαλάσσην, ἤλπιζε γὰρ δι' ὄνειρον νῆσόν τινα ἄγνωστον ἐκεῖ εὑρήσειν. λαβὼν ὦν τρεῖς κόρακας μετ' ἡμέρας τινὰς ἐκπέμπει τὸν πρῶτον, ὁ δὲ ἐπ' οἴκου αὖθις ἀνήϊε, ὕστερον δὲ τὸν δεύτερον, ὁ δὲ οὐκ ἤθελε λείπειν τὴν νῆα, τέλος δὲ ὁ τρίτος ἐξ ἰθείης πορευθεὶς ἦγε τὸν Φλόκιδα ἐς Θούλην τὴν νῆσον, ὁ δὲ καταγόμενος ὤκισε τὴν πόλιν Ῥεικιάβεικον.

The nobles and their followers emigrate thither. At first an oligarchy is established, which, in 970, becomes a democracy.

ἐδόκεε ὦν τοῖσι ἀρίστοισι τῆς Σκανδίης ἐκεῖσε ἐς ἀποικίην ἰέναι, ἤλπισαν γὰρ οὕτω τήν τε τοῦ Ἁράλδου βίην ὑπεκφεύγειν καὶ αὐτοὶ ἐκεῖ δυνατοὶ γίνεσθαι. τοσοῦτο δὲ πλῆθος συνελάβετο τῆς πείρης ὥστε τὸν Ἄραλδον μέγα τέλος τοῖσι ἐκπεμπομένοισι ἐπιτιθέναι μὴ κενωθείη ἀνδρῶν ἡ μητρόπολις, ἕκαστος γὰρ ἔλαβε τῆς γῆς ὅσον δαΐδα ἐν χειρὶ ἔχων ἂν περιθέοι τῆς ἡμέρης. τὸ μὲν ὦν πρῶτον ὀλιγαρχίην ἔσχον, μετὰ δὲ ἔτεα ἐννενήκοντα μάλιστα ὑβριστικῶν γενομένων τῶν ἀρίστων ἐς τὸ πλῆθος μετέστησαν τὴν πολιτηΐην.

Political arrangements — 4 divisions, 13 sub-divisions. The Magistrates. The Althing or Senate; its President, place of meeting, &c.

Τοιάδε δὲ ἦν σφέων τὰ πολιτικά· ἐς τέσσερας νομοὺς διῃρέθη ἡ νῆσος, ἑκάστου δὲ ἐπρώτευε νομάρχης. πάντες δὲ οἱ νομοὶ τριξῶς ἐμερίσθησαν πλὴν τοῦ βορηΐου, οὗτος γὰρ τέσσερα εἶχε τὰ μέρεα, ἑκάστου δὲ μέρεος προέστη τις ὀρθωτήρ· κώμη δὲ ἑκάστη τὸν κώμαρχον ἥρεε. πάντα δὲ τὰ πρήγματα τῆς νήσου ἐπὶ τῇ βουλῇ ἔσκε, ἡ γὰρ συνήρχετο ἐπέτειος τοῦ θέρευς ἐς τὴν χαράδρην τῆς συνόδου οὐνομαζομένην[c], ἐστὶ δὲ χερσόνησός τις στεινὴ ἐντὸς δυοῖν διωρύχων περικεκληϊμένη. ἐν δὲ τῇ ἐκεῖ τάφρῳ τὰς γυναῖκας ἦσι κατεκέκριτο θάνατος κατεπόντιζον, οἱ δὲ ἄνδρες ἀπήγχοντο· οἱ δὲ βουλευταὶ ἀπὸ τῶν γεραιτέρων

[c] Almanna-gia.

ἔπεα καλέουσι Σάγας (Σάγην γὰρ οὐνομάζουσι τὴν Κλειώ) ἐν οἷσι τῶν θεῶν καὶ τῶν πρὶν ἀνθρώπων μνημὴν ποιεῦσι.

Snorri Sturluson, the great historian of Iceland. His life, ambitious projects, and murder.

Τῶν δὲ λογογράφων ἔσκε γάρ τις ἀοιδιμώτατος τοῦτον μνησθήσομαι. τὸν δὲ Σνόῤῥιν λέγω, ὁ γὰρ συνέγραψε τὸν Κύκλον τοῦ Χρόνου[b], ἐστὶ δὲ ἀπόδεξις ἱστορίης τῶν τῆς Σκανδίης βασιλέων, καὶ Σάγας παντοίας. ἐγένετο δὲ ὁ Σνόῤῥις πλουσιώτατος τῶν Θουλαίων, ἔχων γὰρ καὶ πρότερον χρήματα οὐκ ὀλίγα Ἑρδίσην ἔγημε γυναῖκα ἐπιχωρίην, κληρονομιήν γὰρ ἔσχε λαμπρήν. ἔγημε δὲ καὶ ἄλλην γυναῖκα, ὅπερ αὐτοῖσι οὐ νόμιμον ἐστι δύο γυναῖκας ἅμα ἔχειν, ἐκώλυσε δὲ οὐδεὶς, δυνατώτατος γὰρ ἔσκε τῶν ἐπ' ἑωυτοῦ, λέγεται δὲ μετὰ χιλίων ὀπαόνων καὶ ὑπασπιστῶν ἐς τὴν βουλήν κοτε ὁδοιπορῆσαι. φθονέοντες δὲ οἱ θεοὶ τῇ ἀτασθαλίῃ ὄλεθρον τῷ Σνοῤῥέει ἐνέβαλον· Ἥκων γὰρ ὁ τῆς Σκανδίης βασιλεὺς ὑποπτεύσας σφε ὡς τυραννίδος ἑωυτῷ προσορεγόμενον ἐκέλευσε τοὺς γαμβροὺς, ἐχθροὶ γὰρ ἐγένοντο διὰ τὴν δευτέρην γυναῖκα, μάλιστα μέν σφε ζῶντα ἄγεσθαι, εἰ δὲ μὴ, κτεῖναί γε. οἱ δὲ βουλόμενοι τὰ χρήματα κληρονομέεσθαι τὸν θάνατον συνώμοσαν. ὁ δὲ Σνόῤῥις μονωθεὶς, τέως μεν ἄντεσχε ἀνδρείως, ἔπειτα δὲ τρωμάτων πλήρης γενόμενος ἔπεσε, ἔτεα τρία καὶ ἑξήκοντα μάλιστα γεγονώς. μετὰ δὲ τοῦτον οὔτις κοτε τυραννίδα μνεώμενος ἐφάνη.

History of Iceland. Harald Haarfäger becomes tyrant of all Norway, according to his vow when wooing Gyda, an Irish princess.

Ἡ δὲ Θούλη ἀπ' ἀρχῆς εἶχε ὀλιγαρχίην τὴν πολιτητὴν, κρατηθεῖσα ὑπὸ τῶν δυνατωτάτων τῶν ἐς τὴν ἀποικίην τὸ πρῶτον ἐξελθόντων. Ἀράλδης γὰρ ὁ Ξανθὸς ἐπικαλεύμενος ἴσχυσας ἐν Σκανδίῃ, καὶ τοὺς παραδυναστεύοντας ὑποχειρίους ποιησαμένου αὐτὸς ἔσχε τὴν τυραννίδα, λέγουσι δέ σφε αἰνῶς φιλονεικέειν, ἐπεὶ Γύδην βασίλειάν τινα τῆς Ἰέρνης τῷ καλλέει ἀοιδιμωτάτην μνηστεύσας ὑπ' αὐτῆς ἐν ὀλιγωρίῃ ὡς βάρβαρος δή εἴχετο, τὸν δὲ ὧν μέγαν ὅρκον ὀμνύναι ἦ μὲν μὴ ξυρήσεσθαι τὴν κεφαλὴν ἐς ὃ ἂν τύραννος πάσης τῆς Σκανδίης εἴη. κτησάμενος δὲ ὅπερ ἠβούλετο μάλα ὑβριστικὸς ἐγένετο, καὶ

[b] Heimskringla, or the World-Circle.

ἐληΐζετο τοὺς ἀρίστους, οἱ δὲ ἀχθόμενοι τῷ κρατέει ἐβουλεύοντο λιπόντες τὴν πάτρην ἀποικίην τινὰ κτίζειν, ἐπεὶ κρησφύγετον οὐδὲν εὕροντο τῆς ὕβριος.

Συνέβη δὲ ὀλίγῳ πρότερον τουτέων, περὶ ἔτεα πρὸ ἐμεῦ χίλια μάλιστα, Φλόκιδα ναύαρχόν τινα Σκανδικὸν πλεῦσαι ἐς τὴν Ἀρκτικὴν θαλάσσην, ἤλπιζε γὰρ δι' ὄνειρον νῆσόν τινα ἄγνωστον ἐκεῖ εὑρήσειν. λαβὼν ὦν τρεῖς κόρακας μετ' ἡμέρας τινὰς ἐκπέμπει τὸν πρῶτον, ὁ δὲ ἐπ' οἴκου αὖθις ἀνήϊε, ὕστερον δὲ τὸν δεύτερον, ὁ δὲ οὐκ ἤθελε λείπειν τὴν νῆα, τέλος δὲ ὁ τρίτος ἐξ ἰθείης πορευθεὶς ἦγε τὸν Φλόκιδα ἐς Θούλην τὴν νῆσον, ὁ δὲ καταγόμενος ὤκισε τὴν πόλιν Ῥεικιάβεικον. ἐδόκεε ὦν τοῖσι ἀρίστοισι τῆς Σκανδίης ἐκεῖσε ἐς ἀποικίην ἰέναι, ἤλπισαν γὰρ οὕτω τήν τε τοῦ Ἀράλδου βίην ὑπεκφεύγειν καὶ αὐτοὶ ἐκεῖ δυνατοὶ γίνεσθαι. τοσοῦτο δὲ πλῆθος συνελάβετο τῆς πείρης ὥστε τὸν Ἄραλδον μέγα τέλος τοῖσι ἐκπεμπομένοισι ἐπιτιθέναι μὴ κενωθείη ἀνδρῶν ἡ μητρόπολις, ἕκαστος γὰρ ἔλαβε τῆς γῆς ὅσον δαΐδα ἐν χειρὶ ἔχων ἂν περιθέοι τῆς ἡμέρης. τὸ μὲν ὦν πρῶτον ὀλιγαρχίην ἔσχον, μετὰ δὲ ἔτεα ἐννενήκοντα μάλιστα ὑβριστικῶν γενομένων τῶν ἀρίστων ἐς τὸ πλῆθος μετέστησαν τὴν πολιτηΐην.

About this period (880 A.D.) Iceland had been discovered by a voyager named Floki.

The nobles and their followers emigrate thither. At first an oligarchy is established, which, in 970, becomes a democracy.

Τοιάδε δὲ ἦν σφέων τὰ πολιτικά· ἐς τέσσερας νομοὺς διηρέθη ἡ νῆσος, ἑκάστου δὲ ἐπρώτευε νομάρχης. πάντες δὲ οἱ νομοὶ τριξῶς ἐμερίσθησαν πλὴν τοῦ βορηΐου, οὗτος γὰρ τέσσερα εἶχε τὰ μέρεα, ἑκάστου δὲ μέρεος προέστη τις ὀρθωτήρ· κώμη δὲ ἑκάστη τὸν κώμαρχον ἥρεε. πάντα δὲ τὰ πρήγματα τῆς νήσου ἐπὶ τῇ βουλῇ ἔσκε, ἡ γὰρ συνήρχετο ἐπέτειος τοῦ θέρεος ἐς τὴν χαράδρην τῆς συνόδου οὐνομαζομένην[c], ἐστὶ δὲ χερσόνησός τις στεινὴ ἐντὸς δυοῖν διωρύχων περικεκληϊμένη. ἐν δὲ τῇ ἐκεῖ τάφρῳ τὰς γυναῖκας ᾗσι κατεκέκριτο θάνατος κατεπόντιζον, οἱ δὲ ἄνδρες ἀπήγχοντο· οἱ δὲ βουλευταὶ ἀπὸ τῶν γεραιτέρων

Political arrangements — 4 divisions, 13 sub-divisions. The Magistrates. The Althing or Senate; its President, place of meeting, &c.

[c] Almanna-gia.

ψήφῳ ἐξηρέθησαν, ὁ δὲ Πρύτανις Διηγητὴς τῶν νόμων [d] ἐπεκλήθη, ἔσχε γὰρ τὰς παλαίας σανίδας αὐτέων· νῦν δὲ ἡ βουλὴ αὐτὴ ἑωυτῆς πολλῷ ἀδυνατωτέρη ἐοῦσα ἐς Ρεικιάβεικον κατίζει. πρῶτος δὲ ἐνομοθέτησέ σφισι προφήτης τις ὃς ἐξηκονταέτης ἐὼν ὡδοιπόρησε ἐς Σκανδίην τῷ μητρὸς ἀδελφέῳ συμβουλεύσων, οὗτος γὰρ ἐλέγετο σοφώτατος ἀνθρώπων εἶναι· τὴν δὲ νομοθεσίην προθυμῶς ἐδέξατο ἡ βουλὴ, ἔτι δὲ καὶ νῦν χρέωνται ταύτῃ τὰ πλεῖστα.

Ulflötjr, the first legislator of Iceland.

Δημοκρατηθέντες δὲ ἔτεα τριηκόσια ἐστασιάσαντο ἐν ἑωυτοῖσι ὥστε Ἥκονα τὸν τῆς Σκανδίης βασιλέα ἐν νόῳ ἔχειν τὴν νῆσον ἀναλαβέειν καὶ ποιήσασθαι ὑπ' ἑωυτοῦ οἱ γὰρ Σκάνδιοι αἰεὶ ᾤοντο τὴν Θούλην ἀποικίην σφέων ἐοῦσαν ἐπὶ σφίσι χρῆναι εἶναι. λόγους ὧν φέρων ὁ Ἥκων τοῖσι πρώτοισι συμμαχίην ἐποιήσατο ἴσην ὥς γε φασὶ οἱ Θουλαῖοι, οἱ δὲ Σκάνδιοι ἰσχυρίζονται ἐκείνους τὴν νῆσόν σφι ὑποχειρίην δοῦναι. ὕστερον δὲ, γενέῃ πέμπτῃ μάλιστα ἡ τῶν Κιμβρικῶν βασίλεια ἐτυράννευσε πάσης τῆς Σκανδίης, τὴν δὲ Θούλην μετὰ ταύτης ὡς ὑποχειρίην ἔλαβε, δίοπερ οὐ φίλιοι ἔασι οἱ Θουλαῖοι τοῖσι Κιμβρικοῖσι, οἴονται γὰρ δόλῳ σφέων ἀφαιρεθῆναι τὴν ἐλευθερίην. τὰ τῆς πολιτηΐης ταῦτα καὶ παραπλήσιά ἐστι.

Iceland becomes a dependent ally of Norway in the reign of Hakon, 1261, and passes with Norway and Sweden to Denmark in 1381, in the reign of Margaret.

Λοιπὸν δή μοι περὶ τῶν θεῶν τῶν ἀρχαίων (οὐ γὰρ τούτους σέβονται τὸ νῦν) ἐξηγητῇ γίνεσθαι, οἷα μυθολογέουσι οἱ ἐπιχώριοι. ἴσως δὲ ἐν τούτοισι ἀτρεκέως ἕκαστα μνημονεύειν ἀδύνατον, οὐ ταὐτὰ πάντων λεγόντων περὶ ὧν παραδοσέει παρὰ τῶν προτέρων ἐπιστέαται, ἐπ' ὅσον δὲ ἱστορίῃ πυθέσθαι τὠληθὲς ἠδυνάμην οὕτω σημανέω. τοὺς γὰρ δυώδεκα θεοὺς, ὡς ἔμοιγε δοκέει, τῶν Ἑλλήνων ἐσέβοντο, ἑτεροῖα δὲ τὰ οὐνόματα ἔχοντας. τὸν γὰρ Κρόνον καλέουσι Ὠδῖνον, πατὴρ δέ ἐστι τῶν θεῶν καὶ πάντων ἀνθρώπων· κατίζει δὲ ἐπὶ τοῦ σεμνοῦ θρόνου ἐν τοῖσι δώμασι τῶν θεῶν, ἐστὶ δὲ ταῦτα ἐπ' οὔρεος ὑψηλοῦ ὅθεν οἱ θεοὶ ὁρέουσι πάντα τὰ ἐν ἀνθρώποισι γινόμενα. τὸν δὲ

The Norse religion. Odin, the father of gods and men.

[d] Lögsmadr.

'Ωδῖνον ὧδε γενέσθαι φασὶ, λέγοντες τρία εἶναι τὰ μέρεα τοῦ οὐρανοῦ, τῶν τὸ μὲν ὕπατον πρὸς μεσαμβρίην κείμενον πυρφόρον εἶναι καὶ περικεκαυμένον, τὸ δὲ πρὸς βορηΐην ψυχρὸν καὶ παγέτωδες· μέσον δὲ τουτέων Χάος τι ἄνευ ἡλίου ἀλλ' οὐκ ἄγαν θερμὸν οὐδὲ ψυχρὸν ἀλλ' ἀμφοτέρων μέτεχον. ἐπεὶ ὧν οἱ ἀπὸ μεσαμβρίης σπινθῆρες ἐμίγησαν τῷ ἑτέρωθεν ἠέρι ψακάδα ὕδατος ἐνεποιέειν, ἀπ' ἧς γίνεσθαι τερατώδεά τινα ἄνδρα τὸ μέγαθος καὶ βοῦν ἔτι μέζονα. καὶ τὸν μὲν ἄνδρα φῦσαι τοὺς γίγαντάς φασι, τὴν δὲ βοῦν λείχειν τοὺς λίθους, ὅθεν ἐγένετο θῶυμα μέγιστον ὁρέειν, τουτεών γὰρ λέγουσι πεφυκέναι 'Ωδῖνον καὶ τοὺς ἀδελφεοὺς, ἐς τοὺς γενεηλογέουσι ἑωυτοὺς ἅπαντες οἱ θεοί· πολέμου δὲ καταστάντος ἀπέκτεινε τὸν πατέρα τῶν γιγάντων ὁ 'Ωδῖνος, τόσον δὲ αἷμα ἐξεῤῥάγη τοῦ σώματος ὥστε καταποντίσαι τῶν υἱέων τοὺς πλεῦνας, τὸν δὲ νεκρὸν ἐνέβαλε ἐς τὴν τοῦ Χάεος διώρυχα ἵνα ποιήσειε τὴν γῆν. τοὺς δὲ λοιποὺς τῶν γιγάντων πέρην ὑπὲρ τοῦ 'Ωκεανοῦ ποταμοῦ ἐς τὴν ἐξωγαίαν[*] καλευμένην ἐξῶσε, τὸ μή κοτε δύνασθαι κατιέναι. τοιαύτην τὴν γένεσιν πάντων εἶναι λέγουσι.

The genesis of the universe. Two hostile races, the Æsir, or gods; and Jötuns, or giants. Odin creates the earth.

Τὸν δὲ Δία καλέουσι Θῶρον, ἔστι δὲ δεύτερος τῶν θεῶν, μέγιστος ἐὼν τῶν υἱέων τοῦ 'Ωδίνου, ἔργα δὲ πολλὰ ἀξιαπήγητα ἀποδεξάμενός ἐστι. θέλων γάρ κοτε τοὺς γίγαντας εἰδέναι, εἰ ἰσχυρότεροι ἑωυτοῦ εἴησαν, λαβὼν ἕταρον τὸν ἀδελφεὸν ὑπὲρ τοῦ 'Ωκεανοῦ ποταμοῦ ὡδοιπόρησε. ἀπικόμενοι δὲ εὗρον ἄνδρας ὑπερμεγάλους χιλίους μάλιστά κη ἐν αὐλῇ καταστέγῳ κατημένους, ἐπήλυδες δὲ ἐόντες λαμπρῶς ἐξεινίζοντο τὸ πρῶτον, ἔπειτα δὲ Λόκις ὁ βασιλεὺς τῶν γιγάντων ὡς ἐπηρεάζων εἴρετο εἴ τι ἔργον ἀξιόλογον ἀποδέξασθαι μέλλοιεν ὡς κράτιστοι τῶν γε θεῶν ἐόντες. ὁ δὲ Λόπτης ἀντεῖπε ὡς οὐδεὶς ἂν σφε ἐσθίων ὑπερέχοι. καλέσας δὲ ὁ Λόκις τῶν ὑπηρετέων ἕνα ἐς πειρὴν ἄμφω κατέστησε. καὶ ὁ μὲν Λόπτης εὖ ἀνέκαψε τὰ κρέα, ὁ δὲ γίγας μετὰ τῶν ὀστέων καὶ τὴν σκάφην ἀπ' ὧν ἔφαγε. τοῦ δὲ Θώρου ἰσχυριζόμένου ὡς οὐδεὶς ἂν δρόμῳ γε κρατέοι τοῦ ἑωυτοῦ ὀπάονος, παραυτίκα, καλὸν γὰρ ἦε σφίσι στάδιον, ἠγωνίσαντο, καὶ

Thor (=Zeus) the Thunder-God. Legend of his journey to Jotunheim, and his rivalry with the giants.

[*] Utgard, or the Out-World.

ἐσσώθη ὁ παῖς παρὰ πόλυ. εἴρετο δὲ ὦν ὁ Λόκις εἴ τι καὶ αὐτὸς ὁ Θῶρος τῶν γιγάντων κρατέοι, καὶ ἀκούσας ὅτι τῷ πίνειν πρωτεύοι ἑτοιμάζεσθαι ἐκέλευσε· καὶ κρητῆρος κάρτα βαθέος ἐσενεχθέντος τρὶς μὲν ἔπινε Θῶρος κατὰ δύναμιν, ὀλίγον δὲ καὶ οὕτω κάτιζε ἐν τῷ κρητῆρι τὸ ὕδωρ. ὁ δὲ Λόκις κερτομέων ἔφη τάδε· "ὦ συ κεραυνοβρόντης, κράτιστος μὲν τῶν θεῶν τυγχάνεις ἐὼν, εὖ δὲ οἶδα ὅτι οὐδὲ γρῆϋν ἐνθάδε παλαίων ἂν νικησείας, εἰ γὰρ βούλει ἐστί τις παρ' ἡμῖν ἥτις σε διδάξει νήπιον ἐόντα." ἐπάλαισε δὲ σὺν τῇ γυναικὶ ὁ Θῶρος, πέριξ δὲ αὐτοὺς ἵστατο ὅμιλος ἀνδρῶν, καὶ δὶς μὲν ἐκράτησε οὐδέτερος, τὸ δὲ τρίτον ἡ γρῆυς ἐς γόνυ ἔβαλε τὸν Θῶρον, ὥστε γελᾶν ἅπαντας. ὑπεραχθεσθεὶς δὲ τῇ ταπεινώσεϊ ἀπήϊε ὁ θεὸς, καὶ προέπεμπέ σφε ἔξω ὁ Λόκις. ὡς δὲ ἔξω ἐγ'νοντο ἔφη ὁ βασιλεὺς λέγων τάδε· "ὦ θεὸς, ἐπεί τοι κατίκεσθαι ἀδύνατον, σημανέω ὅσα ἐψευσμένος εἶ, εὖ δὲ ἴσθι ὅτι εἴ σεῦ τὴν δύναμιν ἐπίστευον οὐκ ἂν τὴν ἡμετέρην γε πόλιν ἐσῆλθες. ψεύδεα γάρ τοι καὶ οὐκ ἀληθέα ἐμηχανησάμην, σὺ δὲ οὐκ ᾔδεες. ὁ μὲν γὰρ ἀδελφεός σευ εὖ ἔφαγε, ὁ δὲ ἐμὸς ὑπηρέτης πῦρ ἦν, ὅπερ καὶ ὕλην νέμεται. ὁ δὲ παῖς δρόμῳ ἐσσώθη, φρόντις γὰρ ἦν ὁ ἀνταγωνιστὴς, φροντίδος δὲ οὐδὲν ἐστι ταχύτερον. ἐπεὶ δὲ αὐτὸς ἔπινες, οὐκ ᾔδεες ὅτι ὁ τοῦ κρητῆρος πυθμὴν ἐν θαλάσσῃ κατέστη, ὅθεν οὐκ ἐδύνασο κενοῦν γε, ἀμύστιδι δὲ ὅμως κάρτα θείῃ ἐχρήσω, τὴν δὲ καλέσουσι οἱ ἄνθρωποι τὴν παλιῤῥοίην τοῦ 'Ωκεανοῦ. ὅτι δὲ τὴν γρῆυν οὐκ ἐνίκησας μὴ θωύμασον, γῆρας γάρ ἐστι, ὅπερ οὐδ' ἂν οἱ θεοὶ κατέχοιεν. νῦν δὲ χαῖρε, μέσος γὰρ ἡμῶν ἐστὶ 'Ωκεανὸς, τὸ δὲ μέλλον ἄμεινον δοκέει μήτ' ἡμᾶς ὑμῖν μήτ' ὑμᾶς ἡμῖν συμμίσγειν."

Baldur (=Apollo) the Sun-God. Legend of his death, by the treachery of Loki, the king of the Jötuns.

Τρίτος δὲ τῶν θεῶν 'Απόλλων ἐστι τὸν Βάλδρον καλέουσι, κάλλιστος δὲ τῶν θεῶν ἐστὶ ὥστε πάντας τῇ παρουσίῃ ἀγάλλεσθαι· ἡ δὲ ὄψις αὐτοῦ χιόνος ἐστὶ λαμπροτέρη. λόγια δὲ ἦν ἐν τοῖσι θεοῖσι σημαίνοντα ὅτι ἕως μετὰ σφέων εἴη ὁ Βάλδρος, τέως μὴ κρατήσειν τοὺς γίγαντας τῶν θεῶν, δίοπερ ᾤοντο δι' ἐκείνου ἐκφεύγειν ἂν τὸ πεπρωμένον, πάντων γάρ σφε μάλα φιλεύντων, μήτινα τῶν θεῶν βλάψειν τὸν Βάλδρον. ὅμως δὲ ἐτελεύτησε μόρῳ τοιῷδε· ἐν τῇ νυκτὶ εἶδε ὄψιν, ἐδόκεε οἱ πελειὰς ὑπ' ἴρακος διαδάπτεσθαι. λεχθέντων

δὲ τουτέων τῇ μητρὶ Φρίγῃ ἡ ὧν φοβεομένη ὅρκους ἐπήλασε πᾶσι τοῖσι ἐν οὐρανῷ καὶ γῇ καὶ θαλάσσῃ ἢ μὲν μήκοτε σίνεσθαι τὸν Βάλδρον. οἱ δὲ θεοὶ ὡς οὐδὲν ἂν δύναιτό σφε βλάψαι ἔπαιζον ἀκοντίζοντες τὸν Βάλδρον καὶ βάλλοντες λίθοισί τε καὶ λόγχῃσι. ἀχθεσθεὶς δὲ ὁ Λόκις ὅτι σωὸς ἔσκε ὁ θεὸς μηχανᾶται τοιάδε· μορφὴν ἔνδυς γυναικηΐην ἵκετο πρὸς Φρίγην καὶ εἴρετο εἰ πάντα τῷ ἐόντι λόγῳ τοῖσι ὅρκοισι ἀναδήσασα ἔχοι· ἡ δὲ μήτηρ οὐδὲν ὑποπτεύουσα ἀντεῖπε ὅτι πᾶσι τὸν ὅρκον ἐπήλασε εἰ μὴ τῷ ἰξῷ, οὗτος γὰρ ἄγαν ἄῤῥωστος ἐδόκεε, οὐδὲ βλαστάνειν αὐτός γε δυνάμενος ἀλλὰ περὶ τῇ δρυΐ μοῦνον. ἀκούσας δὲ ὁ Λόκις ἐχάρη τε καὶ ἥσθη, καὶ λαβὼν ὀϊστὸν ἰξῷ πεποιημένον ἐς τὰς παιδιὰς τῶν θεῶν ἔβη. ἰδὼν δὲ τὸν Ὧδρον, οὗτος γάρ ἐστι τυφλὸς, ἀργίῃ παρήμενον εἰρώτεε τὴν αἰτίην δι' ἣν οὐκ ἐτίμα τὸν Βάλδρον ἀκοντίζων ὥσπερ ὦλλοι; ἠμείβετο δὲ ὁ θεὸς ὅτι τυφλὸς ἐὼν καὶ οὐκ ἔχων ὀϊστὸν ἐποίεε οὕτω. ἔφη δὲ ὁ Λόκις "ἀλλὰ λαβέ συ τοῦτον τὸν ὀϊστὸν, ἐγὼ δὲ ἀντὶ σέο στοχάσομαι." ὁ δὲ Ὧδρος ἐν ἀδείῃ ποιεύμενος, οὐδὲν γὰρ σινεέσκετο τὸν Βάλδρον, ἐτόξευσε, καὶ διατέτρηνε σφε τῇ αἰχμῇ τὸ κῆρ, ὥστε θνήσκοντα πεσέειν. ἐτύπτοντο δέ μιν αἰνῶς οἱ θεοὶ, καὶ ᾤοντο ἀγχοῦ σφι ἐπισπέσθαι τὸν μόρον. ἡ δὲ μήτηρ Φρίγη κλαίεσκε μάλιστα καὶ ὀδυρέσκετο, ἔπεμψε δὲ τῶν ὑπηρετεόντων ἕνα, μεγάλῃσι παραγγελίῃσι πείθουσα, εἰδέναι εἴ κως ἀναδώσει ἡ Περσεφόνη τὸν υἱόν. ἡ δὲ Περσεφόνη ἠμείβετο ὅτι "εἰ δὴ φιλέουσι πάντες τὸν Βάλδρον κλαίωσι, καὶ τότε ἀποδώσω· πάντες δὲ ἄνθρωποί τε καὶ θεοὶ ἔκλαυσαν, εἰ μὴ γυνή τις μούνη, αὐτὴ γὰρ ἔην Λόκις μορφῇ γυναικηΐῃ ἐοικώς. οὕτω οὐκ ἀνίκετο ἐξ Ἀΐδου ὁ Βάλδρος, ἡ γὰρ μορσίμη ἡμέρη τοῖσι θεοῖσι ἐπέλαζε.

Loki prevents Baldur from returning from Hel, for the fated "twilight of the Gods" approaches.

Ἔασι δὲ καὶ ἄλλοι θεοὶ πάμπολλοι περὶ τῶν λόγους λέγουσι πολλοὺς οἱ ἐπιχώριοι, τουτέων δὲ καὶ τὰ οὐνόματα διηγέεσθαι μακρὸν ἂν εἴη. περὶ δὲ τῶν Θουλαίων καὶ τῆς θρησκίης σφέων ἀρκεέτω τὰ ἤδη εἰρημένα.

Conclusion.

PRINTED BY JAMES PARKER AND CO., CROWN-YARD, OXFORD.